**764.** Phaselide. — *C. I. Gr.*, 4332.

Φασηλειτῶν ἡ βουλὴ καὶ ὁ δῆμος | [ἐτείμησαν Πτολ]εμα[ῖ]ον δὶς τοῦ [Πτ]ολ[εμ]αί[ου | Φασ]η[λεί]την ἄνδρα καλ[ὸν] | καὶ ἀγαθὸ|ν γενόμενον καὶ [τοῦ ‖ πρ]ώτου [τ]ά[γ]μα[τ]ος τῆς πό[λ]εο[ς], | εἰκοσαπρωτεύσαν[τα..... | ἐπ]ὶ τοῦ τῆς ζωῆς χρόνο[υ, ἱερα]|τε[ύσ]αντα [τῆ]ς προκαθ[ηγ]έ[τι]δος τῆς πόλεος Θεᾶς Ἀθηνᾶς ‖ [Πολ]ιάδος καὶ τῶ[ν θ]εῶν Σε[β]α[σ]|τῶν, [πρυ]τανεύσαντα φιλοτεί|μως, ὑποφυλάξαντα τοῦ Λυκίω[ν] | ἔ[θ]νους, ὡς καθ' ἑκάστην ἀρχὴν | τετειμῆσθ[αι α]ὐτὸν ὑπὸ τῆς ‖ πόλεος, πολ[λ]ὰ καὶ με[γά]|λα παρ[ει]σχημένον τῇ πατρίδ[ι] | ἐν τῷ τῆς ζωῆς αὐτοῦ χρόν[ῳ] | καὶ μετὰ τὴν τελευ[τὴ]ν δὲ | αἰωνίους δωρεὰς κα[ταλελοι]‖πότα τῇ πατρίδι εἴς τε ἀναθήμ[ατα | καὶ θ]εωρίας καὶ δι[α]νομάς, ἀρετῆς | [ἕν]εκεν τῆς εἰς αὐτο[ὺ]ς, τὴν δὲ τοῦ | ἀνδριάντος ἀνάστασιν ἐποιήσατο | Μέννησσα ἡ καὶ Τερτία Ἐνδρόμο[υ]? ‖ Φασ[η]λεῖτις, ἡ [θ]εία καὶ κ[λη]ρονόμος αὐτοῦ, κα[θὼς | ὁ] Πτολεμαῖος διετάξατο.